## 5. TETRAMETRI

**5** Ath. 282b

ἔαρι μὲν χρόμιος ἄριστος, ἀνθίης δὲ χειμῶνι·
τῶν καλῶν δ' ὄψων ἄριστον καρὶς ἐκ συκέης φύλλου.
ἡδὺ δ' ἐσθίειν χιμαίρης †φθινοπωρισμῶι κρέας·
δέλφακος δ' ὅταν τραπέωσιν καὶ πατέωσιν ἐσθίειν,
καὶ κυνῶν αὐτὴ τόθ' ὥρη καὶ λαγῶν κἀλωπέκων.
οἰὸς αὖθ', ὅταν θέρος τ' ἦι κὴχέται βαβράζωσιν·
εἶτα δ' ἐστὶν ἐκ θαλάσσης θύννος οὐ κακὸν βρῶμα,
ἀλλὰ πᾶσιν ἰχθύεσσιν ἐμπρεπὴς ἐν μυσσωτῶι.
βοῦς δὲ πιανθείς, δοκέω μέν, καὶ μεσέων νυκτῶν ἡδὺς
κἠμέρης.

1 respicit Epicharmus fr. 58 Kaibel.

# ANTIMACHUS

Colophonius
s. v/iv

*LYDE*

Hermesianax fr. 7. 41 sqq. Powell

*Λύδης δ' 'Αντίμαχος Νυσηΐδος ἐκ μὲν ἔρωτος*
πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ·
†δαρδανη δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν
†καλλίων αἴζαον δ' ἦλθεν ἀποπρολιπὼν